# EIN UNEDIERTES ENKOMION AUF DEN HL. NESTOR (BHG 2291) KRITISCHE AUSGABE *

Zu der hagiographischen Produktion der Palaiologenzeit gehört auch die folgende Lobrede auf den hl. Nestor. Geschrieben am Ende des 13. Jhs von einem sonst unbekannten Autor, dem hypatos ton philosophon und didaskalos tou Evangeliou Komes[1], ist dieses Enkomion das einzige auf den hl. Nestor[2]. Dieser ist uns nur durch die hagiographischen Texte über seinen Lehrer, den hl. Demetrios aus Thessalonike, bekannt.

Der Verfasser des Enkomions, der hauptsächlich auf ältere Martyrien und Viten des hl. Demetrios zurückgreift, versucht wie alle zeitgenössischen Gelehrten seine klassische Bildung durch Zitate antiker Autoren zu demonstrieren. Zitate altgriechischer Literatur sind sehr häufig, Zitate alt- und neutestamentlicher Texte dagegen sehr selten.

Entsprechend der rhetorischen Tradition äußert Komes im Vorwort seine Scheu, über so ein schwieriges Thema zu sprechen[3], unternimmt aber dennoch im Vertrauen auf die Hilfe des Märtyrers den Versuch. Dem Vorwort schließt sich ein langes Enkomion der Heimatstadt des Heiligen, Thessalonike, an. Dem Autor steht ein umfangreiches Material zur Verfügung: Thessalonike war die zweitwichtigste Stadt des Kaiserreiches, eine Stadt mit langer Geschichte und natürlichen Schönheiten[4].

---

* Prof. G. M. Parassoglou hat die Probleme dieser Ausgabe mit mir erötert und wichtige Lösungen vorgeschlagen. Ihm sei auch an dieser Stelle herzlich gedankt.

1. Zum Problem der Autorschaft und der Datierung des Textes vgl. Verf., Ένα ανέκδοτο εγκώμιο στον άγ. Νέστορα. Το πρόβλημα της ταύτισης του συγγραφέα, in: *Μνήμη Λίνου Πολίτη (ΕΕΦΣΠΘ. Τιμητικός τόμος στη Μνήμη Λίνου Πολίτη)*, Θεσσαλονίκη 1988, S. 65-75.

2. Vgl. Verf., S. 65 Anm. 2.

3. Vgl. ähnliche Aussage bei Theodoros Metochites, ed. B. Laurdas, Βυζαντινὰ καὶ μεταβυζαντινὰ ἐγκώμια εἰς τὸν ἅγ. Δημήτριον, *Μακεδονικὰ* 4 (1955-60) 56, 19f., wie auch bei Gregor von Zypern, Laudatio in s. Georgium martyrem (BHG 683), *PG* 142, 301A.

4. Thessalonike wurde oft in der Literatur, nicht nur im hagiographischen Bereich, lobend beschrieben wie z.B. bei Joannis Caminiatae, *De expugnatio Thessalonicae*, rec. G. Böhlig [CFHB 4], Berlin-New York 1973, S. 5, 87-13, 37 oder von Nikephoros Chumnos in seiner Rede Θεσσαλονικεῦσι συμβουλευτικὸς περὶ δικαιοσύνης, ed. J. Fr. Boissonade, *Anecdota Graeca*, II, Paris 1830, S. 139-146.

Bevor Komes zu der Erzählung des Martyriums kommt, erwähnt und lobt er alle Tugenden des jungen Nestor und informiert uns über die politische und historische Situation, in der das Martyrium stattfand.

Die Ausgabe des Textes basiert auf dem einzigen Textzeugen, dem Kodex Athen. 2421 (Nationalbibliothek) aus dem 14. Jahrhundert[5].



Athen. 2421, f. 356.

5. Zum Kodex vgl. Verf., S. 65 Anm. 1 und S. 67 Anm. 6. Im oberen Bereich des zweiten Teils ist der Kodex von Insekten beschadigt; durch die sind die Lücken im Text entstanden.

*Τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ διδασκάλου τοῦ εὐαγγελίου τοῦ Κόμητος ἐγκώμιον εἰς τὸν περικαλλῆ καὶ θεῖον μάρτυρα Νέστορα.*

**1** Δῆλον οἶμαι παντὶ ὡς ἄρ', εἴ τις παρὰ Θεοῦ ἰσχὺν εἰληφέναι θαρρεῖ καὶ τοῦτ' ἀκριβῶς ἐπίσταται, τοῦτον κομιδῇ γε ῥᾳδίως καὶ ἀγῶνα διαγωνίσασθαι μέγιστον. Ὅπου γε τοῖς τοιούτοις οὐ μέγα θάλατταν περαιοῦσθαι πεζοὺς καὶ ποταμοὺς ἀνακόπτειν καὶ τἄλλα ὅσα τούτοις κατώρθωται (ἄτοπον γὰρ τοὺς μὲν παρὰ βασιλέως δύναμιν ἐσχηκότας μὴ δεδιέναι τῶν μεγίστων ἅπτεσθαι, τοὺς δὲ σχήσειν δήπου μέλλοντας ἄνωθεν μὴ θαρρεῖν εἰσιέναι μηδὲ προθύμως ἐπαποδύεσθαι) καὶ ἔγωγε τοῦ ἀναδύεσθαι τελέως ἀφί[στ]αμαι, τοῦ πολλοῦ ἐν μάρτυσι Νέστορος, [ὑπὲ]ρ οὗ νῦν ἡ σπουδή, ἄντικρυς ἐπαρκέσειν ἐπαγγελλομένου, λαμπρῶς συνεφαπτ[όμενο]ν δὴ τὸν ἀθλητὴν αἰσθανόμενος, εἰ μὴ ὅ,τι μάλιστα πρὸς τὴν αὐτοῦ χωροίην εὐφημίαν θαρρούντως εὐ[....]α[.....]εξειν οἶμαι δικαίως τοῖς ὀρθῶς κρίνειν ἐπισταμένοις.

**2** Ἐπεὶ δ' ἡ τέχνη τοῖς ἐπαινοῦσι καὶ πατρίδος ἐπιτάττει μεμνῆσθαι, τῷ δ' εὐδαίμονι καὶ πατρίδος εὐγενοῦς ὁ παλαιός φησι λόγος προσδεῖν, καί γε πρὸς ὃν ὁ λόγος ἐκ τῆς καλλίστης τῶν ὑφ' ἡλίῳ πασῶν ὥρμηται καὶ ἀξιόχρεως αὕτη προσθήκη (Θεσσαλονίκη γὰρ τὸν ἀριστέα τοῦτον προήνεγκε), τίς οὕτω ἔξω νοῦ, ὃς ἂν τοῖς <τῆς> τοῦδε πατρίδος μεμνημένοις ἐπιτιμήσειεν; Εἴπερ γὰρ δεῖ σεμνύνεσθαί τινας ἐξ εὐγενῶν ὡρμημένους, καὶ τὸν νῦν ἐπαινούμενον.

**3** Ὅτι μὲν τοίνυν τῶν ἐν τῇ Εὐρώπῃ πασῶν ἡ τῶν Θεσσαλονικέων κρατεῖ, κἂν αἱ λοιπαὶ πόλεις ὁμολογήσαιεν. Πάσας γὰρ μεθ' ὅσης ἂν εἴποι τις νικῶσα ὑπερβολῆς οὐδεμιᾷ που κατέλιπεν ἐξισοῦσθαι ἀμφισβητεῖν, μή τί γε παραδραμεῖν· αἱ γὰρ μηδὲ τὸ ἴσον ἔχειν τολμῶσαι φάναι, σχολῇ γ' ἂν περὶ πρωτείων αἵδε φιλονικήσαιεν. Καὶ ὅτι νικᾷ καὶ ἡ ἐπωνυμία βεβαιοῖ μάλιστά γε τὸν λόγον. Τοσαύτη παρὰ πασῶν ἡ πρὸς τὴν πόλιν [α]ἰδώς· μῆκος τε γὰρ ὅσον ἂν ἐξείη καὶ θέσις ἀρίστη, καὶ οὔθ' ἡ θέσις μήκους ἐστέρηται, οὔτ' αὖ τὸ μῆκος θέσεως, ὥστε τὰς μὲν μεγάλας τῇ θέσει νικᾶν, τὰς δὲ θέσει σεμνυνομένας τῷ μήκει, μᾶλλον δ[ὲ τῇ] μὲ[ν εὐ]καιρίᾳ τῆς θέσεως τὰς ἐν τούτῳ νικῶσας, τὰς δ' αὖ εὐμήκεις τῇ πλεονεξίᾳ τοῦ μήκους. Οὕτω καὶ μήκους καὶ θέσεως εὖ ἔχει, ὥστε ἔξεστιν εἰπεῖν μὴ ὅπως τῶν ἐν τῇ Εὐρώπῃ ἀλλὰ καὶ τῶν ἐν ταῖς λοιπαῖς ἠπείροις πολλῷ διενεγκοῦσαν μάλιστα φαίνεσθαι· οὔτε δὲ ἐν ἠπείρῳ οὔτε ἐν μόνῃ θαλάττῃ, ὥσπερ τὰς πολλὰς ἴσμεν, ἀλλ' ἐν ἀμφοτέραις. Καὶ τὸ δὴ μέγιστον, ὃ πάντως οὐδεμιᾷ ἢ κομιδῇ γε ὀλίγαις· θάλατταν γὰρ καὶ ὄρος συνδεῖ, ὥστ' οὐ μόνον τὴν πανταχόθεν ἐξέφυγεν ἔφοδον (ἐκ θαλάττης γὰρ πολεμουμένη εἰς τὰ ἐκ γῆς ἀνεῖται καὶ

2, 4 προσθήκει cod. 3, 1 εὐρώπη cod. 3, 14 ὅρος cod.

2, 1 ἡ τέχνη-μεμνῆσθαι: cf. Arhth. Prog. 22, 1-3; Menan. Rh. II 369, 18 2, 1-2 cf. τῷ δ' εὐδαίμονι-προσδεῖν: Archyt. apud Stob. III 1, 7 (= p. 57, 11-12) 2, 3 καλλίστης-ἡλίῳ: cf. Lib. Antioch. 442, 4

τοὐναντίον αὖ) ἀλλὰ καὶ τῶν ἄλλων δυσχερειῶν πολλὴν τὴν ἀπαλλαγὴν ἔσχεν· ὧν γὰρ ἂν ἐν χρείᾳ γένηται, ἔχει τὴν κομιοῦσαν τάχιστα θάλατταν, κἄν τι πάλιν ἐν αὐτῇ ὅπερ ἄλλαις οὐ πρόσεστι, πέμπειν εὐθὺς ἔχει καὶ θεραπεύειν· ὥστε ἔξεστι μὲν οὐκ ὀλίγων πόλεων εὐεργέτιν προσειπεῖν, ἔξεστι δὲ καὶ ὑφ' ἑτέρων χάριτας δεξαμένην κάλλιστα ἐκτετ[ι]κυῖαν εὑρεῖν. Τὰς δὲ τῶν ὀρῶν χά[ριτας] ἃ περικυκλοῦσι τὴν καλλίστην τῶν πόλεων καὶ οἷς αἱ μὲν τοῦ χειμῶνος εἴργοντ[αι π]ροσβολαὶ ἡ δ' ἐκ τοῦ θέρους θεραπεύεται βία, ὥσπερ ἐν αὐτοῖς μεταβάλλουσαι, πο[ῖ]ος λόγος οἷός τ' ἂν γένο[ι]τ' ἐξηγ[ήσασ]θαι; Ὃ δὲ τούτων μεῖζόν ἐστι .[.].προ.. μάλιστ' ἂν οἶμαι τὴν πόλιν αὐχῆσαι· μαρτύρων γὰρ καὶ ὁσίων τροφὸς οὐκ ὀλίγων ἐδείχθη.

**4** Ταύτην δὴ ἔσχε πατρίδα καὶ ὁ γενναῖος Νέστωρ καὶ πάντῃ ἀήττητος, Νέστωρ ὁ στερρὸς μὲν τὸν νοῦν, στερρότερος δὲ τὴν εὐσέβειαν. Οὗτος τοίνυν λέγεται καὶ πρὶν εἰς ἄνδρας ἐλθεῖν τοιοῦτος εἶναι, ὥσθ' ἃ κἂν ἐν γέρουσι ἀγάσαιτό τις ταῦτα ποιῶν διαγεγονέναι· οὕτω γὰρ σωφροσύνης ἐξέχεσθαι καὶ τοσοῦτον ἀπέχειν τοῦ δρᾶν ἃ μὴ προσῆκεν, ὥστε τῶν πόρρω ἡλικίας ἡκόντων διενηνοχέναι μηδέν, ἄριστον μέν, ὅπερ ἔφη τις, σὺν τῷ καλῷ τέρψιν ἡγούμενος, ἄνευ δὲ τούτου κάκιστον· οὕτω δὲ ὑπὲρ τοῦ δικαίου καὶ καλοῦ ἀγωνίζεσθαι καὶ τοσοῦτον ἀμφοτέροις ἐμμένειν, ὥστε καὶ παραινεῖν ἀεὶ οἷς ὡμίλει τούτων μάλιστα ἐξηρτῆσθαι καὶ πάντα δικαιοσύνης δεύτερα τίθεσθαι· οὕτω δ' ἀπέχειν τουτὶ τῶν φαύλων ποιεῖν, ὥστε μόνοις διαιτᾶσθαι τοῖς καλῶς τὸν βίον διῳκηκόσι (κακίαν γὰρ ᾔδ[ει ῥᾳ]δίως μεταλαμβανομένην)· θἀλλων δὲ ἐν ὥρᾳ τε καὶ ῥώμῃ καὶ πολλοὺς ἐν ἀ[μ]φοτέραις νικῶν οὐκ ἐπὶ κακῷ ταύταις χρήσασθαι, ἀλλὰ πρόφασιν ταύτας εὑρεῖν πρὸς ἀρετὴν πάνυ παρακαλοῦσαν (δειν[ὸν γ]ὰρ ἡγήσ[ασ]θαι τὸ μὲν σῶμα νικᾶν ἐν ὥρᾳ τε καὶ ῥώμῃ, τὸν δὲ τῶν ἠθῶν τρόπον ἀνελεύθερον καὶ τοῖς πολλοῖς ὅλως ἔχειν προσόμοιον)· φρονήσεως δ' εἰς τοῦθ' ἥκειν, ὥστε τὰ πλεῖστα τῶν τοῖς σοφοῖς καὶ σπουδαίοις δεδογμένων ἀνδράσι δρᾶν καὶ πρὶν συγγενέσθαι τοῖς λόγοις.

**5** Οὕτω διακείμενος δεῖν ἔγνω παρὰ πάντα πρός τόν γε ἀρετὴν μετιόντα φοιτᾶν καὶ τούτῳ συγγίγνεσθαι, καὶ κοινωνεῖν ἀγώνων, καὶ ἀγαθῶν καρποὺς ὡς οἷόν τε μάλιστα δρέπεσθαι. Ἐπεὶ δὲ τὴν ἡγεμονίαν τῶν πρὸς ἑσπέραν ὁ μέγας ἐν μάρτυσι παρὰ Μαξιμιανοῦ εἰλήφει Δημήτριος (Δημήτριος, ὃς τὴν εὐσέβειάν τε καὶ ἀρετὴν οὐκ ἐν τῇ ψυχῇ μόνον αὔξων ἦν, ἀλλὰ καὶ πρὸς τοὺς ὑπ' αὐτῷ πάντας λαμπρῶς διαγγέλλων τὸ κήρυγμα), εἷς γίνεται καὶ Νέστωρ τῶν συνήθων τοῦ μάρτυρος. Ἦν οὕτω ταῦτα καὶ ἡ πόλις αὕτη τῶν καλῶν λόγων ἀφθόνως ἀπέλαυε, καὶ τῆς ἀρχῆς τὸ κλέος ἐπὶ μέγα Δημητρίῳ κατὰ λόγον ἐχώρει.

3, 19 εὐεργέτην cod.: in marg. altera manu τιν 4, 6 ὅπερ an ὥσπερ? 4, 14 ἠθῶν cod. 5, 2 τούτω cod. ante corr. 5, 6 διαγγέλων cod.

4, 6 locum non inveni 4, 9-10 cf. 1 Thes. 5, 22 5, 8 κατὰ λόγον ἐχώρει: Plb. 28, 17, 12

**6** Ἐπεὶ δὲ [ὁ] βασκαίνων τοῖς ἀγαθοῖς ἀεὶ ταῦ[τα ..τ]έμνειν ἐπιχειρεῖ, Μαξιμιανῷ τῷ τυράννῳ διαγγέλλει τὰ δρώμενα· ὁ δ' οὐκ ἀνασ[χόμ]ενος ταῦθ' οὕτω προχωροῦντα ὁρᾶν, ᾧ τὰς ἡνίας τῆς ἀρχῆς καλῶς ἐνεχείρισε, τοῦτον οὐ καλῶς τῇ φ[ρουρ]ᾷ πα[ραδί]δωσιν. Ἄνειμι δὲ μικρὸν ἵν' εἴπω σαφέστερον· εἶχε μὲν ἡ εἱρκτὴ τὸν μέγα τῆς εὐσεβείας κήρυκα Δημήτριον, Μαξιμιανὸν δὲ οἱ Σαυροματῶν οὐκέτι εἶχον ὅροι μεγάλα κατ' αὐτῶν ἐργαζόμενον, ἀλλ' ἡ τῶν Θεσσαλονικέων εἶχε μεγάλα καὶ φρονοῦντα κακῶς καὶ διαπραττόμενον διὰ τὰ μεγάλα κατὰ Σαυροματῶν τρόπαια.

**7** Ἐπανήκων τοίνυν ἀπὸ τοῦ ἀγῶνος καὶ τελέσας τὸν θρίαμβον, ὡς μὴ ὤφελεν (ἄμεινον γὰρ ἦν τῶν πολεμίων εἶναι τὴν νίκην, ἔδει δὲ <αὐτὸν> αὐτοῖς δούλοις, αὐτοῖς χρήμασι, τοῖς ὅλοις πᾶσιν ἀπολωλέναι· οὐ γὰρ ἄλλο τι προσῆκεν, ὅσα γε ἐκ τῆς γνώμης καὶ ὧν ἐφαίνετο πράττων) —ἐπανήκων οὖν μέγας ἦν ὑπεροψίᾳ καὶ τὸν οὐρανὸν οὐ μέγα ἐξαράσσειν ἐδόκει καὶ καινῶν τινων ἔργων δημιουργὸς ἑωρᾶτο, ὥσπερ ὑπερβαλέσθαι φιλονεικῶν τὸν πρὸ αὐτοῦ περὶ τὰ στοιχεῖα τὴν καινοτομίαν ἐπιδειξάμενον. Ἐπειδὴ γὰρ τῶν ἐκ τῶν Σαυροματῶν νεφῶν τελέως ἀπήλλακτο, ὡς κατάκρας ὑπερβαλόμενος οὐκ εἶχ[ε ποῦ] τοὺς λογισμοὺς ἄγει. Ἦν δὲ καὶ διανοίας οὐδὲν μετεσχηκώς, εἶκε δὲ ῥᾷστα πά[σαι]ς ἀλόγοις ὁρμαῖς, ἠμέλει δὲ καὶ ὁπλιτῶν καὶ ἱππέων καὶ τῶν ἄλλων ἃ βασιλεῦσιν εἰκὸς διατίθεσθαι, ἠμέλει δὲ πόλεων [πασ]ῶν ο[ὐ]κ [ἔ]χων νοῦν ὑγιαίνοντα, ὃς πάντων τῶν τοιούτων ἡγεμών τε καὶ φροντιστής· ἐστέρητο δὲ τοῦ μείζονος· οὐ γὰρ ἦν ἐν τῷ τῶν Χριστιανῶν καταλόγῳ. Τί μὲν οὖν λέγω «οὐκ ἦν»; Αὐτῶν ἦν διώκτης, αὐτοὺς διεκέχρητο καὶ οὐδὲν ἄλλο μᾶλλον ἐσκόπει καὶ διὰ σπουδῆς ἐποιεῖτο ἢ τοὺς τὸν ἀληθῆ Θεόν, τὸν Χριστόν, ὁμολογήσαντας διαχρῆσθαι. Ἐσπούδαστο δ' αὐτῷ ἀλογία καὶ μανία καὶ ὕβρις, ὡς δ' ἁπλῶς εἰπεῖν, ἀδύνατ' ἐδίωκεν· πτερά, φασίν, ἵππων καὶ λύκων· παρὰ γὰρ ἄκρην κορυφὴν ἔστη κακῶν.

**8** Ἐπειδὴ τοίνυν ἀργὸς καθήμενος ἐπὶ καινοτομίας ἐσπούδαζεν, εὗρέ τινα πρὸς ἣν οὐ μικρὸν ἔδει ἐνησχολῆσθαι. Λιθοτόμων καὶ ἁρμοστῶν συλλογὴ πανταχόθεν καὶ σπουδὴ περὶ τούτων οὐ μικρὰ εἰς θεάτρου κατασκευὴν μεγάλου καὶ ὑψηλοῦ, ὥστ' ἔχειν ἑτοίμως δέχεσθαι πάντα μὲν τὸν τῆς πόλεως, πάντα δὲ τὸν τοῦ στρατοπέδου λεών· τοιαύτη τις ἦν ἡ περὶ τούτου σπουδή. Κατεσκεύαστο τοίνυν καὶ ἥρμοστο. Εἶτα τί συσκευάζει ἢ μηχανᾶται ὁ θη[ριώδη]ς καὶ μανίας ἔμπλεως τύραννος; Οὐ θηρίοις παραχωρεῖ τοῦ θεάτρου οὐδὲ ἀνδράσιν, ἵνα πρὸς ἀλλήλους ἡμέρως [ποι]οῖντο τὰς συμπλοκὰς (ταυτὶ δὲ ἦν, οἶμαι, δίκαιά τε καὶ

6,1 post ἀεὶ lege ταῦτα ἐκτέμνειν vel ταῦτ' ἀποτέμνειν 6, 4 ἄνειμι cod. 6, 5 εἰρκτὴ cod. 7, 3 ἀπολωνέναι cod. 7, 6 φιλονικῶν cod. 7, 11 εἰκὼς cod. 8, 6 καὶ[1] add. supra lineam

6, 5 εὐσεβείας κήρυκα: Can. App. 33 Rhalles-Potles 7, 5 τὸν οὐρανὸν-ἐξαράσσειν: fr. com. ad. 531 Kock; proverb. Strömberg 101, 19; Synes. ep. 79 (p. 139, 2-3 Garzya) 7, 16-17 cf. Macarii proverb. V 68 (CPG II, 186); Apost. proverb. X 80 (CPG II, 509); Diogen. VI 4 (CPG I, 270); Greg. Cypr. proverb. II 96 (CPG I, 367); Lib. ep. 1351, 14 7, 17 Hom. Il. 8, 83; Pi. O. 7, 36

[π]ροσήκοντα καὶ ἄρχοντι πρέπ[οντ]α· ἐδόκει δὲ καὶ πᾶσιν ἢ δι᾽ ἱπ[πο]μαχι[κο]ὺς πεποιῆσθαι ἢ δι᾽ ἄλλους ἀγῶνας, [οὓ]ς ἐν ᾿Ολυμπίοις καὶ ᾿Ισθμίοις ῞Ελληνες ἠγωνίζοντο), ἀλλὰ τί; Μικρὸν μὲν χῶρον ἀφείς, ὅσον ἂν ἀρκεῖν δυοῖν παλαιόντοιν ἀνδροῖν, τὸ λοιπὸν μέρος ξιφῶν μυρίων ἐνέπλησεν, ὥσπερ καὶ ἄκων τὴν οἰκείαν μανίαν ἐν τούτῳ ἐπιδεικνύμενος, καί τινα Λυαῖον, βάρβαρον ἄνδρα οὐδὲν εἴς γε τὸ ἀγριαίνειν αὐτοῦ διαφέροντα, ἐπὶ τούτῳ ἐγκατατίθησιν. Εἶτα τί; Κήρυκες ἁπανταχοῦ τῆς πόλεως πᾶσι μὲν τὰ τοῦ θεάτρου ἀγγέλλοντες, πάντας δὲ τοὺς βουλομένους πρὸς συμπλοκὴν προκαλούμενοι, τελευτῶντες δὲ προστιθέντες τὸν ἡττηθέντα τοῦ ἀνδρὸς καὶ τῶν ξιφῶν ἡττᾶσθαι. ῏Ω καινοῦ καὶ θεάτρου καὶ δόγματος· ξένον ἠκούετο θέατρον, ξένος ἀγωνιστὴς κατεφαίνετο, ἀγὼν ἐθεσπίζετο ξένος.

**9** Ταῦτα μὲν οὖν ἐκεῖνος (οὐδὲ γὰρ οὐδ᾽ ἦν αὐτῷ τῶν ὑπηκόων φροντίς, οὐδέ γε τοῦ τῶν ἀνθρώπων γένους) πανταχῇ τῆς πόλεως διεκήρυξε, τάχα μὲν ἡδονῆς ἐμπιπλᾶναι τ[ὸν ...]ον οἰόμενος τοῖς καινοῖς κηρύγμασιν, οὐκ εἰδὼς λυπῶν μᾶλλον αὐτὸν καὶ παρὰ μέλος ᾄδων, τάχα δὲ καὶ πολλοῖς προμνώμενος ἄκων ἀγνοοῦσι γνῶναι τὴν αὐτοῦ κακόνοιαν. Οὐδένα δὲ ἀνθρώπων τ[ὰ πρ]αττόμενα διελάνθανε· κούφοις γὰρ ἡ [φή]μη φ[οι]τῶσα πτεροῖς πάντα ἐπιλαμβά[ν]ει ῥᾳδίως καὶ οὐδέν ἐστιν ἄβατον αὐτῇ οὐδ᾽ ἄναντες, τῶν ὅσα οἰκοῦσιν ἄνθρωποι. Τὴν δ᾽ οἶμαι πόλιν τὸ πρῶτον ἀκηκουῖαν ἡσθῆναι μὲν τῷ μήπω ἐπιδεῖν τὰ δεινὰ διὰ τὴν τοῦ θεάτρου καινοτομίαν, κἂν μὴ ἐκ τοῦ τοιούτου χαιρήσειν ἔμελλε (φιλεῖ γὰρ ἥδεσθαι τὸ πλῆθος ἐν νέοις κηρύγμασι), μᾶλλον δὲ οὐδὲ τὴν ἀρχὴν (δεινὰ γὰρ ἦν τὰ λεγόμενά τε καὶ ἀκουόμενα) ἐν τοῖς δεξιοῖς θεῖναι τὰ κηρυττόμενα. Καὶ μὲν δὴ φημ᾽ ἔγωγε ἐκεῖνο μάλισθ᾽ ἁρμόττειν αὐτοῖς, τὸ «αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ᾽ ὑποδέχθαι»· οὔτε γὰρ <τὸ> μὴ χωρεῖν πρὸς τὸν ἀγῶνα οὔτ᾽ αὖ τὸ διαγωνίσασθαι μικρὸν ἢ τῶν ἀκινδύνων ἐδόκει. ῞Ομως δ᾽ οὖν πάντες ἤγοντο εἰς τὸ νέον ἐκεῖνο καὶ καινὸν θέατρον, οἱ μὲν θεαταί, οἱ δ᾽ ἀγωνισταί. Τίς ἂν τότε ἐθάρρησε πρῶτος ἀντᾶραι καὶ εἰς χεῖρας ἐλθεῖν; Τίς τοσοῦτον κύβον ἀνέρριψε ὁρῶν [α]ὐτὸν οὕτω μὲν οἷον πῦρ πνέοντ[α οὕτ]ω δ᾽ ἐπ᾽ ἄκροις ἱστάμενον ὄνυξι καὶ τὸν μαχεσόμενον ἀναμένοντα ὡσπερεὶ λεόντά τινα ὀξέως ἐπὶ θήραν ὁρμ[ῶ]ντα, τὰ δὲ ξίφη περιιστάμενα, οὐδαμοῦ δὲ φυγὴν τούτων καὶ τὸν θάνατον ἔγγιστα; [Π]άντες τότ᾽ ἐπεφρίκεσαν ο[...]ν[.......]η εἰ θάλατταν ὑπὸ τοῦ ἄρχοντος ἠν[αγ]κάζοντο περαιοῦσθαι πεζοί. ᾿Εγὼ μὲν οὖν οἶμαι· ὅστις δ᾽ ἄρα πρῶτον τοῦτον

8, 11 διοῖν cod. 9, 3 post τὸν lege forsitan ὄχλον 9, 7 ἐστι cod. ante corr. 9, 8 ἠσθῆναι cod. 9, 8 ἐπειδεῖν cod. 9, 11 θῆναι cod. ante corr. 9, 12 αἴσθεσθεν cod. 9, 12 ἀνήνασθε cod. 9, 13 ὑποσχέσθαι cod.

9, 4 παρὰ μέλος ᾄδων: Plu. Vit. Them. 5 (p. 114C); Plu. Mor. 807B 9, 6 κούφοις πτεροῖς: Hes. Op. 761; Aristoph. Ra. 1353 9, 12-13 Hom. Il. 7, 93 9, 16 κύβον ἀνέρριψε: cf. CPG I 383, 28; Plu. Fab. 14, 1 9, 17 πῦρ πνέοντα: Pi. fr. 133; Soph. Ant. 1146; Eur. Iph. T. 228 9, 17 ἐπ᾽ ἄκροις ὄνυξι: Eur. El. 840 9, 18 ὡσπερεὶ λέοντα: cf. LXX Ps. 21, 14

ἐνεστήσατο τὸν ἀγῶνα ἄντικρυς ἐθανάτα καὶ πρὸς φανερὸν ὥρμα κίνδυνον.

**10** Καθημένου δ᾽ οὖν ὅμως ἐπὶ μετεώρου τοῦ δυσσεβοῦς, τοῦ λεὼ δὲ συνειλεγμένου οὐκ ἐκ μόνης ταύτης τῆς πόλεως ἀλλ᾽ ἐκ πάσης, ὡς εἰπεῖν, τῆς Εὐρώπης (οὐδεὶς γὰρ ἦν τῶν τοιούτων ἀνήκοος), αἱ συμπλοκαὶ γινόμεναι ὥσπερ πανήγυριν αὐτῷ καὶ τρυφὴν παρείχοντο. Ἔπιπτον δὲ ὑπὲρ μὲν ἀδελφῶν ἀδελφοί, ὑπὲρ δὲ φίλων φίλοι, τοῦ φρονεῖν ὑπὸ τῆς τοῦ φίλτρου βίας ὥσπερ ἐκπεπτωκότες· καὶ πολλοὶ δὴ τότε οἱ μὲν πατέρας, οἱ δὲ μητέρας, οἱ δὲ πολίτας ἐλύπησαν ἐκείνῳ πειθόμενοι. Ὥς πού φησι· «θανεῖν δ᾽ οἷς ἀνάγκη, τί δέ τις ἐν σκότῳ καθήμενος βαθὺ γῆρας ἕψοι μάταν;» Ἀλλ᾽ εἰ μὴ πείθοιντο, «ἦ τ᾽ ἂν πολλοῖς κέρδιον ἦεν». Τότε γὰρ δή, τότε πόλεις, ὡς εἶπε[ῖ]ν, ἐτυφλώθησαν, τῶν προμάχων ἀπ[οστάν]των. Οἱ μὲν ὑπὸ τῶν ξιφῶν διεφθείροντο, τῶν σωμάτων ἔτι σπαιρ[ό]ντων ἐν μέσῳ καὶ ὥσπερ ἀπὸ πηγῶν προχεόντων [τὸ αἷ]μα, οἱ δὲ πρὸς τὸν ἀγῶ[ν]α ἐχώρου[ν] τὰ ὅμοια πεισόμενοι μᾶλλον ἢ δε[υτεροῦ]ντες. Ἐθρήνουν δὲ οἱ παρόντες καὶ [ἐπεστ]έν[α]ζον. Τίς τότε ἑστῶσι τοῖς λογισμ[οῖ]ς τὰ τοιαῦτα ἑώρα; Τίς οὕτω σιδηροῦ[ς] ἦν, ὅτῳ τότε οὐκ ἐπῆλθε δακρῦσαι; Μόνος δὲ Μαξιμιανὸς τούτοις ἦν οἱονεὶ ἐπιχαίρων καὶ ἐφηδόμενος καὶ ἀεὶ πρὸς μάχην παρακαλῶν ἅπαν τὸ γενναῖον καὶ εὔψυχον καὶ λαμβάνων κόρον μηδέποτε.

**11** Οὕτω δὴ τοῦ δυσσεβοῦς γνώμης ἔχοντος καὶ οὐδαμῶς κορεννυμένου ἀλλ᾽ ἀεὶ ἐν τοῖς αὐτοῖς μένοντος, πάντων δὲ σειομένοις, ὡς εἰπεῖν, ἐοικότων, συνιδὼν ὁ πάντα γενναῖος Νέστωρ ὡς, εἰ μὴ τοῦτο ἐκποδὼν γένοιτο, εἰς βραχὺ ἢ οὐδὲν τὸ τῆς πατρίδος ἥξει, καὶ πρὸς ἑαυτὸν εἰπὼν ὡς «Καλὸν πάντως, οὐδέ τινα μέμψιν φέρον, οὐδ᾽ ἔξω συγγνώμης, εἰ νίκην κατὰ Λυαίου στήσας εἶθ᾽ ὑπὸ τοῦ τυράννου ὅ,τι δή ποτε πάθοιμι», καὶ λογισάμενος ὡς «εἰ μὲν ἐγὼ σὺν ἐκείνῳ ἀπέλθω, τῇ πατρίδι, μᾶλλον δ᾽ ἂν τ[ῷ] τῶν ἀνθρώπων γένει, σωτηρία γενοίμην· ἂν δὲ φιλοψυχήσω νῦν, ὕστερον τ[αῖς ἀ]νάγκαις εἴξω <τῆς> φύσεως· οὐδὲ γὰρ ἂν ὑποσταίην τοιαῦτα προχωροῦντα ὁρᾶν», καὶ ἄμεινον θέμενος πρ[ὸ] πολλῶν μᾶλλον ἢ μετὰ πολλοὺς ἀπελθεῖν, ταῦθ᾽ οὕτως ἐνθυμηθε[ὶς] τί ἐπ[ὶ τούτο]ις λογίζεται; Πρὸς τὸν ἐν φρ[ουρᾷ] καταφεύγει Δημήτριον, οὗ τὸ κλέος [πε]ριδέδρομε, φησί, γαῖαν ἅπασαν καὶ ᾧ οὐδεὶς γένετ᾽ ἀνὴρ ἐπιχθονίων ὅμοιος, καὶ τί φησίν; «Ὦ κῆρυξ ἀληθείας λαμπροφωνότατε, οὐδ᾽ ἐν τῇ φρουρᾷ τυγχάνοντα λέληθε τὰ τῆς πόλεως, ἀλλ᾽ ἀκούσας ἔχεις οἷα τὰ τοῦ τυράννου κατὰ πάντων ἀνθρώπων τὰ μηχανήματα. Ἰδὼν οὖν οὕτω καὶ πατρίδα καὶ γένος κακῶς ἀπολλύμενα ᾤκτειρα καὶ Θεῷ ζῶντι καὶ τῇ σῇ ῥοπῇ πεποιθὼς νῦν ὥρμημαι

9, 22 ὅρμα cod. 10, 1 λεῶ cod. 10, 3 εὐρώπης cod. 10, 7 δς cod. 10, 8 ἤ cod. 10, 8 πολλοὺς cod. 11, 11-12 ]ριδέδρομαι cod.

9, 22 ἄντικρυς ἐθανάτα: cf. Eur. fr. 638 Nauck²; Dem. 18, 4 10, 7-8 Pi. O. 1, 82-83; cf. Greg. de dialectis, p. 212 10, 8 Hom. Il. 5, 201; 22, 103; Od. 9, 228; 20, 381 10, 11 ἀπὸ-προχεόντων: cf. Cyr. cat. Hebr. suppl. 2:II 10, 13 ἑστῶσι-λογισμοῖς: Plb. 3, 105, 9 11, 11-12 cf. Di.P. 41; Kamin. 3, 4 (=p. 5, 70)

Λυαῖον δικαίως ἀμύνασθαι· εἰ δὲ σὺ εὔξαιο, οἶδ' ὅτι καὶ οὗτος ἀξίαν ἂν τῶν πεπραγμένων ἀποδοίη τὴν τελευτὴν καὶ πόλις ταχέως τῶν ἐπικειμένων ἀπαλλαγείη δεινῶν.» Ὁ δὲ τὴν πρόκλησιν ἀσμένως δεξάμενος προλέγει παραχρῆμα τὸ γενησόμενον· «Νέστορ, καὶ Λυαῖον ὑπερβαλεῖς καὶ μαρτυρικὸν ἀναδύεις τὸν στέφανον», τῷ τοῦ σταυροῦ τύπῳ κεφαλὴν ἅμα κα[ὶ κ]αρδίαν ἐπισφραγίσας.

**12** Ταῦτα [τοίνυν] Νέστωρ ὁ γενναῖος ἀκούσας καὶ ἀνθ' ὅπλων ἰσχυρῶν εἰληφὼς ἔξεισι μὲν εὐθὺς ἐκεῖθεν λαμπρός, ἄπεισι δὲ πάνυ λαμπρό[τε]ρος πρὸς τὸ νέον ἐκ[ε]ῖνο καὶ καινὸν θέατρον οὐ τὸν ἄνδρα δείσ[ας, οὐ] τὰς ἐπ[ομ]ένας τῇ νίκῃ δίκας, οὐ [τῶν] θρήνων ἡττηθείς, οὐ πρὸς τοὺς τεθν[ε]ῶτας ἰδών, οὐ τὸ μέγεθος ἐκπλαγείς, οὐ τὴν ἡλικίαν, οὐ τὴν ὥραν ἐνθυμηθεὶς (πάνυ γὰρ ἦν καὶ καλὸς δὴ καὶ νέος), οὐ γονέας, οὐ χρήματα, οὐ δόξαν ἐλπιζομένην, οὐδὲν ὅλως τῶν ὁρωμένων· ἀλλ' εἰς μέσον ἅλλεται ὥσπερ ἐκ μετεώρου, φαιδρός, ἡδύς, ὡς εἰς ἑορτὴν εἰσιών, μονονουχὶ τὴν νίκην πρὸς τοὺς περιισταμένους ἐπαγγελλόμενος. Καὶ γενναῖόν τι πρὸς τὸν ἀνταγωνιστὴν ἀπιδὼν «Ὦ οὗτος,» φησί «ὁ πολλοὺς διαφθείρας, ἧκεν ὁ σοὶ μαχεσόμενος, πρὸς ὃν σὺ οὐδὲ βραχὺ ἀντιστῆναι δυνήσῃ· οὐδὲ γὰρ οὐδ' οἵ γέ σοι ἐπαρκοῦντες πρὸς τὸν ἐμοὶ συναιρόμενον ὅλως ἀναβλέπειν τολμῶσιν, ἀλλ' οἴχονται φεύγοντες· διάπειρα δέ τοι, φασί, βροτῶν ἔλεγχος».

**13** Μαξιμιανὸς δὲ (καθῆστο γὰρ ἐφ' ὑψηλοῦ τῶν γιγνομένων κριτὴς) τοὺς λόγους [ἀκ]ηκοὼς εὐθὺς ἐπιτάττει ὡς αὐ[τὸ]ν ἄγεσθαι τὸν τοιαῦτα εἰρηκέναι θαρ̣ρ̣[ήσαν]τα, τάχα μὲν καὶ διὰ τὸ ἀνδρεῖον τῶν λόγων (ἐδόκει γὰρ μηδὲ πρὸς τοιούτους λόγους χωρεῖν τινα) τάχα δὲ κ[αὶ] οἶκτον ὥρας ἐκείνης καὶ ἡλικίας λαβ[ώ]ν, εἴ γε ἄξιο[ν] τοιοῦτόν τι σχεῖν ἐκεῖνον .[..εἰ]ληφέναι. Παρελθόντος το̣ί̣ν̣[υ]ν̣ μ[ετὰ γε]ν̣ναίου καὶ σχήματος καὶ βλέμμα[το]ς καὶ φρονήματος, ὁ τύραννος θωπεύειν αὐτὸν ἤρξατο καὶ μαλάσσειν, «Ἐλεῶ σου τὴν ὥραν,» λέγων «οἰκτείρω σου τὴν νεότητα, τὸ μεγαλόψυχον ἐπαινῶ. Ἀντὶ ἀγῶνος ἔστω σοι τὸ θαρρῆσαι διαγωνίσασθαι, καί, εἴτε δόξης, εἴτε χρημάτων ἐρᾷς, λάμβανε ἤδη ταῦτα· ἕτοιμος ἐγὼ παρασχεῖν· ἱκανά σοι παρέξομαι καὶ γνώμης ἕνεκα μόνης· λαβὼν οὖν ἄπιθι σῶς· ὁ γὰρ ἀγὼν πάντων ἔρημον ἀπεργάσεται καὶ αὐτό σοι προσαπολέσας τὸ ζῆν. Ὅρα δὴ μὴ βουληθεὶς κύριος μεγάλης νίκης γενέσθαι εἰς ἔσχατα δυστυχίας κατενεχθῇς». Ὁ δ' «Ἔξω βάλλεις» ἔφη «σκοποῦ· οὐδὲ γὰρ πείσεις οὐδ' εἴ μοι πᾶσαν παράσχεις ἣν νῦν ἔχεις ἀρχήν. Οὐδὲ γὰρ διὰ ταῦτ' ἔγωγε ἧκον, οὐδὲ διὰ ταῦτα τὸν τοσοῦτον ἀνειλόμην ἀγῶνα, ἀλλ' ἵν' ἐλευθερίας αἴτ[ιος γέ]νωμαι καὶ <τῇ> πατρίδι καὶ ταῖς ἄλλαις πόλεσι· κοινὴν γὰρ δουλείαν ἥγημαι τὸ [κακῶς] οὕτω καὶ ἀφειδῶς τὸ χρήσιμον ἀναιρεῖσθαι τῶν πόλεων. Ἔχω δὲ καὶ τὴν ἄνωθεν δύναμιν συνεφαπτομένην μοι καὶ τὸν ἀλ[ηθ]ῆ Θεὸν σύμμαχον, ᾧ θαρ[ρ]ῶν οὐδὲν ὅλως μοι τὸ τοῦ Λυαίου καταφαί[νετ]αι θράσος».

11, 20 ἀναδύῃς cod. 12, 10 οἵ γε σοὶ cod. 12, 11 ἐπαρκοῦσι cod.

12, 5 τὴν ὥραν ἐνθυμηθείς: cf. Xen. Cyn. 8, 6 12, 11-12 οἴχονται φεύγοντες: Hom. Od. 8, 356 12, 12 Pi. O. 4, 18

Καὶ ὁ τύραννος· «Ἀλλ' εἰσ[ὶ Λυαί]ῳ θεοὶ ἐπαρκοῦντες καὶ δύναμις πρὸς [ἣ]ν οὐδ' ἀνταῖραι δυνήσῃ». «Ταχὺ γ' ἂν αὐτ[ὸν] καὶ θεοὶ καὶ ἰσχὺς καὶ αὐτὸ τὸ ζῆν ἀπολίποιεν» ὁ μάρτυς ἀντέφησεν. Ἐπὶ τούτοις ἐνέδυ τὴν λεοντὴν καὶ θαρρούντως ἀντιταξάμενος νικᾷ νίκην οὐδενὶ τῶν ὁρώντων ἐλπιζομένην. Καὶ τὸ τοῦ θείου Δαυὶδ ἐν ἀμφοτέροις ἐξέβη· τὸν μὲν γὰρ ὡς ἀγαπῶντα ἐφύλαξε, τὸν δὲ ὡς ἁμαρτωλόν, ὡς ἀσεβῆ, ἐξαπώλεσε Κύριος.

**14** Ὁ μὲν οὖν ἔκειτο δικαίως ἀξίαν κομισάμενος τῶν ἔργων τὴν τελευτήν, ὁ δέ γε δῆμος ἅπας ἐπινικίους ᾖδον τῷ κεκρατηκότι, συγχαίροντες, συνηδόμενοι, περιφυόμενοι, συναλλόμενοι, ψυχῆς ἐπαινοῦντες εὐτολμίαν καὶ γενναιότητα, ἣν οὐ χρυσὸς ἐνίκησεν, οὐχ ὠμότης ἔθραξεν, οὐ δόξα παρήμβλυνεν, οὐ θωπεία ἐμάλαξεν, οὐ κολακεία συνήρπασεν, οὐδὲν ὅλως τ[ῶν] ἐν γῇ ἑλεῖν ἴσχυσεν, ἤδη τῶν ὧδε με[τ]ω<κη>κυῖαν, ὡς ἔοικε, καὶ πρὸς μόνα τ[ὰ ἐ]κ[εῖ] καὶ ὁρῶσαν καὶ θέουσαν, «Νῦν δεῖ» λέγοντες «πανηγύρεις συστήσασθαι καὶ ἀνάψαι πόλλ' ἀναθήματα καὶ χορεία[ν εἶ]ναι πανταχοῦ, τῆς πόλεως ἠλευθερωμέν[η]ς ἤδη καὶ ἀπαλλαγείσης καθαρῶς τῶν λ[υπού]ντων· νῦν τοὺς ὑπ' αὐτοῦ λελυπημ[ένους ῥυ]σθῆναι καὶ τοῦ θρηνεῖν ἀποστάντ[ε]ς ἐπὶ μεγίστην εὐθυμίαν τραπέσθαι».

**15** Ὁ μὲν δῆμος τοιαῦτα· μόνου δὲ Μαξιμιανοῦ λίαν τὸ γεγονὸς ἅπτεται καὶ θυμοῦ γέμων εὐθὺς ἐξανίσταται, καὶ τὸ θέατρον λύεται. Εἶτα τὸν ἀθλητὴν μεταπέμπεται, δοκῶν μὲν τοῖς παροῦσι ὡς δώροις αὐτὸν ἀμειψόμενος καὶ δόξῃ κοσμήσων τὸν γενναῖον ἀγωνιστήν· τὸ δ' ἦν οὐ τοιοῦτον, ἀλλ' ἵν' ἀκριβῶς ἐξετάσῃ τὸ γεγονός, πῶς ἄρα οὕτω προὐχώρησεν· ἐνόμισε γὰρ πρός τε τὰ τοῦ πεσόντος ἔργα καὶ τὴν τοῦ νενικηκότος ἀπιδὼν νεότητα μαγγανείαν τιν' εἶναι τὴν οὕτω ταῦτα διαθεμένην. Ἄγεται τοίνυν ὁ μάρτυς τὴν νίκην ὥσπερ καὶ αὐτῷ τῷ προσώπῳ προδεικνὺς ἐναργέστατα· Μαξιμιανὸς δὲ ὑπὸ πολλῆς τῆς ζάλης ἣ κατέσχεν αὐτὸν τυραννούμενος, τότε δή, τότε κάτω βλέπων ἦν καὶ σχῆμα μάλιστα ἀχθομένου π[ροφ]αίνων, ὥστ' ἐκπλαγῆναι, φασί, τοὺς πε[ρὶ] αὐτὸν τοῦ μὲν τὴν κατήφειαν, τοῦ [δὲ τὴν] εὐτολμίαν, πρᾶγμα οὐκ εἰωθὸς ἐν αὐτῷ θεωμένους, τὸ δεῖξαι σχῆμα ὑφειμένον τὸν τύραννον. Ἤρξατο τοίνυν αὐτοῦ μαγγ[ανεί]αν κατηγορεῖν· «Οὐ γὰρ ἂν ἄλλως ἐξε[γ]έ[νετ]ό σοι» φησί «δεδρακέναι πρᾶγμα το[ιοῦτ]ον· καὶ εἰπὲ μηδὲν ὑποστειλάμενος, ε[ἰ ζῆν σῶ]ς θέλεις καὶ καλῶς ὁρᾶν φῶς ἡλίου τὸ ἥδ[ιστο]ν». Ἠγγυᾶτο γὰρ περὶ ζωῆς, μόνον εἰ τὸ ἀληθὲς πύθοιτο, οὐκ εἰδὼς ὅτι καὶ μεμαθηκὼς ἀκριβέστατα τῇ οἰκείᾳ γνώμῃ καὶ οὕτω δὴ χρήσεται. Καὶ ὁ μάρτυς· «οὐδέν γε τοιοῦτον ἴσμεν ἡμεῖς, ὅσοι τῷ ζῶντι Θεῷ προσανέχομεν, οὐδ' ὅ,τι ἐστὶ μαγγανεία ἐπιστάμεθα ὅλως· ἀλλ' ἡ τοῦ

14, 4 ἐνίκησε cod. 14, 6 με[.]οκυῖαν cod. 15, 15 ἠγγιᾶτο cod.

13, 22 ἐνέδυ-λεοντήν: cf. CPG I 75, 3 13, 24-25 cf. LXX Ps. 144, 20 14, 2 ἐπινικίους ᾖδον: cf. Di. S. 5, 28 14, 7 ἀνάψαι-ἀναθήματα: Lib. I 336 15, 14-15 ζῆν-ἡλίου: cf. Hom. Il. 18, 61; 24, 558

ἀληθινοῦ Θεοῦ, τοῦ Χριστοῦ μου, δύναμις ἐπιρρώσασα, ᾗ προσέχω καὶ ὃν προσκυνῶ τε καὶ σέβομαι, καὶ ὁ τούτου θεράπων Δημήτριος δι' εὐχῆς ἐνισχύσας τὴν νίκην παρέσχον· τῇ δὲ τοῦ Χριστοῦ μου δυνάμει πάντα εἴκει καὶ οὐδέν ἐστιν ἀντιπράττον οὐδ' ἀντιταττόμενον. Καὶ εἴ γε βούλει πάνθ' ὅσα δοκεῖ σοι ῥᾳδίως ἐργάζεσθαι, γνῶθι καὶ σὺ τὴν ἀλήθειαν, καὶ ἀνάβλεψον πρὸς τὸ τριλαμπὲς καὶ ἀειλαμπὲς φῶς, καὶ ἄφες μὲν οἷς προσέχεις ὡς ἀνοήτοις καὶ περιττοῖς, πρόσεχε δὲ ὧν οὐ δικαίως ὑπερ[ο]ρᾷς, καὶ αὐτίκα εἴσῃ σαφῶς τὴ[ν το]ῦ Χριστοῦ δύναμιν».

**16** 'Αλλὰ γὰρ οὐκ ἐδυνήθη Μαξιμιανὸς τὴν ἀλήθειαν γνῶναι συμμεμυκότας [ἔ]χων ὑπὸ τῆς ἀσεβείας τοὺς τῆς ψυχῆς [ὀ]φθαλμούς, ἢ καὶ τελ[έως] ἐκκεκομμένους (οὐδὲ γὰρ οὐδ' ὄνον μουσ[ικῆ]ς ἐπαΐειν φασίν), ἀλλ' ἐπὶ τούτ[οις ..]..[.....] ἀμφότερα, ὅτι τε τῶν εἰδώλων [.......]ς κατηγόρησε καὶ ὅτι θαρρούντως [τὸ]ν Χριστὸν ὡμολόγησε, ψῆφόν δίδωσιν ἀφαιρεθῆναι τὸν γενναῖον τὴν κεφαλήν. Ὃ δὴ καὶ εὐθὺς γίνεται· καὶ εἰς οὐρανοὺς ὁ μάρτυς ἀνάγεται καὶ παρὰ Χριστοῦ τὸν στέφανον δέχεται· καὶ νῦν ἐστι μετὰ μαρτύρων ἀγαλλόμενος, μετὰ προφητῶν σεμνυνόμενος, σὺν ὁσίοις δοξαζόμενος καὶ σὺν αὐτοῖς δοξάζων Πατέρα ἄναρχον καὶ Υἱὸν πρὸ τῶν αἰώνων ἐκ Πατρὸς γεννηθέντα καὶ Πνεῦμα ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὴν μίαν θεότητά τε καὶ δύναμιν, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. 'Αμήν.

16, 1 ἐδυνήθην cod. 16, 1 συμμεμηκότας cod.

---

15, 23 γνῶθι-ἀλήθειαν: cf. Joh. 8, 32 15, 23-24 cf. Greg. Naz. or. 44.3 (PG 36, 609B) 16, 2 τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς...: cf. Luc. Vit. Auct. 18 16, 3 ὄνον ἐπαΐειν: cf. CPG II 193, 9

## *Kommentar*

*1, 4* οὐ μέγα-ἀνακόπτειν: vgl. Gregor von Zypern, Laudatio in s. Georgium martyrem (BHG 683), ed. *PG* 142, 301A. Ein ähnlicher Ausdruck kommt auch auf S. 7, 12-13 vor.

*1, 5-6* vgl. Gregor von Zypern, *PG* 142, 301B.

*2, 1-2* vgl. *L'Empereur Julien Œuvres complètes*, ed. J. Bidez, I, 1, Paris 1932 [«*Les Belles Lettres*»], S. 14, 21-22 und die Lobrede des Theodoros Metochites in: B. Laurdas, Βυζαντινὰ καὶ μεταβυζαντινὰ ἐγκώμια εἰς τὸν ἅγιον Δημήτριον, *Μακεδονικὰ* 4 (1955-60) 47-162, hier Z. 46-48. Dazu vgl. auch R. Volkmann, *Die Rhetorik der Griechen und Römer*, Leipzig ²1885, S. 338ff.

*3, 1ff* Zur Beschreibung von Thessalonike und zur Lobrede auf die Stadt vgl. Ioannis Caminiatae, *De expugnatione Thessalonicae*, rec. G. Böhlig, Berlin - New York 1973 (CFHB 4), S. 5, 87-13, 37; Nikephoros Chumnos, *Θεσσαλονικεῦσι συμβουλευτικὸς περὶ δικαιοσύνης*, ed. I. Boissonade, *Anecdota Graeca*, Paris 1830,

II, 137-146; Konstantinos Akropolites, *Λόγος εἰς τὸν μεγαλομάρτυρα καὶ μυροβλύτην Δημήτριον*, ed. A. Papadopulos-Kerameus, *'Ανάλεκτα 'Ιεροσολυμιτικῆς Σταχυολογίας*, Petersburg 1891 (Ndr. Bruxelles 1963), I, S. 160, 1-11. Zu den Ähnlichkeiten dieser Beschreibung mit derjenigen von Methochites in seiner Lobrede auf den hl. Demetrios vgl. Verf., S. 70-72.

*3, 5-6* Zum Problem der Rechtschreibung des Wortes φιλονεικῶ/φιλόν(ε)ικος vgl. A. G. Nikolaides, Γύρω ἀπὸ τὴν ὀρθογραφία τῶν λέξεων *πρᾶος* καὶ *φιλόνικος*, *'Ελληνικὰ* 32 (1980) 366-370. Der Kopist hat an dieser Stelle, an der die Form φιλονικήσαιεν berechtigt war, die Form φιλονεικήσαιεν verwendet, obwohl er es auf 7, 7, wo der Zusammenhang die andere Schreibweise verlangt, hat mit ι geschreiben.

*6, 6ff* Dazu vgl. T. D. Barnes, *The New Empire of Diocletian and Constantine*, Cambridge Mass. – London 1982, S. 64.

*7, 8* περὶ τὰ στοιχεῖα τὴν καινοτομίαν: vgl. Nikeph. Greg. 561, 9.

*8, 5ff.* Über das Theater vgl. den Aufsatz von S. Pelekanides, «Τὸ θέατρον τὸ καλούμενον Στάδιον» τῆς Θεσσαλονίκης, *Κέρνος, τιμητικὴ προσφορὰ στὸν καθηγητὴ Γεώργιο Μπακαλάκη*, Θεσσαλονίκη 1972, S. 122-133 (Ndr. im Sammelband: *Θεσσαλονίκην Φιλίππου Βασίλισσαν. Μελέτες γιὰ τὴν ἀρχαία Θεσσαλονίκη*, Θεσσαλονίκη 1985, S. 477-485). Zur Diskussion, ob die Identifizierung von Pelekanides stimmt, vgl. Ch. Bakirtzis, Περὶ τοῦ συγκροτήματος τῆς ἀγορᾶς τῆς Θεσσαλονίκης, *'Αρχαία Μακεδονία, Β' Διεθνὲς Συμπόσιο*, Ἵδρυμα Μελετῶν Χερσονήσου τοῦ Αἵμου, Θεσσαλονίκη 1977, S. 257-269 (Ndr. im obengenannten Sammelband, S. 592-604; hier S. 599-601). Als Grunder des Theaters ist Maximian nur hier angefuhrt.

Universität Thessaloniki S. KOTZABASSI